Οὐδένα θωπεύω πρὸς ὑπόκρισιν· οὓς δ᾽ ἀγαπῶμαι,
Τούτους ἐξ ἀρχῆς μέχρι τέλους ἀγαπῶ.

Ἄδηλον.

Πρᾶγμα μὲν ἔσθ᾽ ὁ φίλος πάνυ δύσκολον· εἰσὶ γὰρ
Καὶ σχεδὸν οἱ πάντες μέχρι προσηγορίας. (πολλοὶ,

---

## ΕΙΣ ΦΙΛΟΣΟΦΟΥΣ, κεφ. πϛ.

### ΕΜΠΕΔΟΚΛΕΟΥΣ περὶ ἑαυτοῦ.

Ἤδη γάρ ποτ᾽ ἐγὼ γενόμην κοῦρός τε κόρη τε,
Θάμνος τ᾽, οἰωνός τε, καὶ ἐξ ἁλὸς ἔμπυρος ἰχθύς.

Τοῦ αὐτοῦ.

Ὦ φίλοι, οἳ μέγα ἄστυ κατὰ ξανθοῦ Ἀκράγαντος
Ναίετ᾽ ἀν᾽ ἄκρα πόλεως, ἀγαθῶν μελεδήμονες ἔργων
Χαίρετ᾽· ἐγὼ δ᾽ ὑμῖν θεὸς ἄμβροτος, οὐκ ἔτι θνητὸς,
Πωλεῦμαι μετὰ πᾶσι τετιμένος, ὥσπερ ἔοικε,
Ταινίαις τε περίστεπτος, στέφεσίν τε θαλείοις.
Τοῖσιν ἅμ᾽ εὖτ᾽ ἂν ἵκωμαι ἐς ἄστεα τηλεθόωντα,
Ἀνδράσιν ἠδὲ γυναιξὶ σεβίζομαι. οἱ δ᾽ ἅμ᾽ ἕπονται
Μυρίοι, ἐξερέοντες ὅπη πρὸς κέρδος ἀταρπὸς,
Οἱ μὲν, μαντοσυνέων κεχρημένοι, οἱ δέ τι νούσων
Παντοίων ἐπύθοντο κλύειν εὐηκέα βάξιν.

Εἰς τὸ ἐγχειρίδιον Ἐπικτήτου.

Μῆτιν Ἐπικτήτοιο τεῷ ἐνὶ κάτθεο θυμῷ,
Ὄφρα καὶ εἰσαφίκοιο καὶ οὐρανίους κενεῶνας,
Ψυχὴν ὑψικέλευθον ἐλαφρίζειν ἀπὸ γαίης.

Εἰς τὸ αὐτό.

Ὃς καὶ Ἐπικτήτοιο σοφὴν τελέσῃ μενοινὴν,

Μειδιάει.